οὐδὲ τὸν πολίτην τὸν ἀγαθὸν μανθάνειν, εἰ μή ποτε χρείας χάριν αὐτῷ πρὸς αὑτόν· οὐ γὰρ ἔτι συμβαίνει γίνεσθαι, τὸν μὲν δεσπότην, τὸν δὲ δοῦλον· ἀλλ' ἔστι τις ἀρχὴ καθ' ἣν ἄρχει τῶν ὁμοίων τῷ γένει, καὶ τῶν ἐλευθέρων. ταύτην γὰρ λέγομεν εἶναι τὴν πολιτικὴν ἀρχὴν, ἣν δεῖ τὸν ἄρχοντα ἀρχόμενον μαθεῖν, οἷον ἱππαρχεῖν ἱππαρχηθέντα, [στρατηγεῖν] στρατηγηθέντα, καὶ ταξιαρχήσαντα, καὶ λοχαγήσαντα. διὸ καὶ λέγεται τοῦτο καλῶς, ὡς οὐκ ἔστιν εὖ ἄρξαι, μὴ ἀρχθέντα. τούτων δὲ, ἀρετὴ μὲν ἑτέρα· δεῖ δὲ τὸν πολίτην τὸν ἀγαθὸν ἐπίστασθαι καὶ δύνασθαι καὶ ἄρχεσθαι καὶ ἄρχειν. καὶ αὕτη ἀρετὴ πολίτου, τὸ τὴν τῶν ἐλευθέρων ἀρχὴν ἐπίστασθαι ἐπ' ἀμφότερα. καὶ ἀνδρὸς δὴ ἀγαθοῦ ἄμφω. καὶ εἰ ἕτερον εἶδος σωφροσύνης καὶ δικαιοσύνης ἀρχικῆς· καὶ γὰρ ἀρχομένου μὲν, ἐλευθέρου δέ· δῆλον ὅτι οὐ μία ἂν εἴη τοῦ ἀγαθοῦ ἀρετὴ, οἷον δικαιοσύνη, ἀλλ' εἴδη ἔχουσα, καθ' ἃ ἄρξει καὶ ἄρξεται· ὥσπερ ἀνδρὸς καὶ γυναικὸς ἑτέρα σωφροσύνη καὶ ἀνδρία. δόξαι γὰρ ἂν εἶναι δειλὸς ἀνὴρ, εἰ οὕτως ἀνδρεῖος εἴη ὥσπερ γυνὴ ἀνδρεία· καὶ γυνὴ λάλος, εἰ οὕτω κοσμία εἴη ὥσπερ ὁ ἀνὴρ ὁ ἀγαθός· ἐπεὶ καὶ οἰκονομία ἑτέρα ἀνδρὸς καὶ γυναικός· τοῦ μὲν γὰρ, κτᾶσθαι, τῆς δὲ, φυλάττειν ἔργον ἐστίν. ἡ δὲ φρόνησις, ἄρχοντος ἴδιος ἀρετὴ μόνη. τὰς γὰρ ἄλλας ἔοικεν ἀναγκαῖον εἶναι κοινὰς καὶ τῶν ἀρχομένων καὶ τῶν ἀρχόντων. ἀρχομένου δέ γε οὐκ ἔστιν ἀρετὴ φρόνησις, ἀλλὰ δόξα ἀληθής· ὥσπερ αὐλοποιὸς γὰρ, ὁ ἀρχόμενος· ὁ δ' ἄρχων, αὐλητὴς ὁ χρώμενος. πότερον μὲν οὖν ἡ αὐτὴ ἀρετὴ ἀνδρὸς ἀγαθοῦ, καὶ πολίτου σπουδαίου, ἢ ἑτέρα, καὶ πῶς ἡ αὐτὴ, καὶ πῶς ἑτέρα, φανερὸν ἐκ τούτων.

Κεφάλαιον ε.

Περὶ δὲ τὸν πολίτην ἔτι λείπεταί τις τῶν ἀποριῶν. ὡς ἀληθῶς γὰρ πότερον πολίτης ἐστὶν ᾧ κοινωνεῖν ἔξεστιν ἀρχῆς, ἢ καὶ τοὺς βαναύσους πολίτας θετέον; εἰ μὲν οὖν καὶ τούτους θετέον οἷς μὴ μέτεστιν ἀρχῶν, οὐχ οἷόν τε παντὸς εἶναι πολίτου τὴν τοιαύτην ἀρετήν· οὗτος γὰρ [πολίτης. εἰ δὲ μηδεὶς τῶν τοιούτων πολίτης, ἐν τίνι μέρει θετέος ἕκαστος; οὐδὲ γὰρ μέτοικος, οὐδὲ ξένος. ἢ διά γε τοῦτον τὸν λόγον, οὐδὲν φήσομεν συμβαίνειν ἄτοπον; οὐδὲ γὰρ οἱ δοῦλοι τῶν εἰρημένων οὐδὲν, οὐδ' οἱ ἀπελεύθεροι. τοῦτο γὰρ ἀληθές,

neque bonum ciuem: nisi fortasse quandoque suiipsius priuatim gratia. Nō enim amplius contingeret esse alterum dominum, alterum seruum, sed est præsidentia quædam, per quam præest similibus genere, & liberis hominibus: & hanc dicimus esse ciuilem præsidentiam, quam eum qui præest didicisse parendo oportet: ceu præfectum equitum esse, cùm ipse prius sub alio esset: & exercitum ducere, cùm ipse prius in exercitu per inferiores militiæ gradus ductus sit. Quamobrem rectè dicitur, neminem bene imperare posse, qui non prius sub imperio fuerit. Sed horum diuersa est virtus, & oportet bonum ciuem scire ac posse præesse & subesse. & hæc virtus ciuis, scire rectè se habere in vtraque parte, & boni viri vtraque, quanquam alia est species eius temperantiæ & iustitiæ quæ præest. Nam eius qui subest ac liber est, non vna profectò fuerit virtus ac boni viri, vtputa iustitia alias species habet cùm præest, alias cùm subest. Quemadmodum viri & mulieris alia temperantia, & fortitudo. Nam videretur vtique timidus esse vir, si ita fortis esset, vt fœmina fortis, & mulier inhonesta videretur, si sic honesta foret, vt vir honestus: administratio quoque domus, alia mulieris, alia viri. nam viri est acquirere, mulieris seruare. Prudentia verò propria virtus est præsidentis. nam cæteræ quidē virtutes videntur communes, tam eorum qui præsunt, quàm eorum qui subsunt: at prudentia non est virtus eius qui subsit, sed opinio vera. qui enim subest, vt is est qui fistulam facit: qui verò pręest, vt is qui vtitur fistula. Vtrum igitur eadem sit virtus viri boni, & ciuis studiosi, vel alia, & quomodo eadem, & quomodo alia, ex his patet.

## CAPVT V.

Restat adhuc vna dubitatio circa ciuem: vtrum reuera ciuis sit is solùm cui participatio est publicæ potestatis, an opifices etiam ac mercenarij sint ciues nūcupandi. Nam si ponamus hos quoque esse ciues, qui magistratuum sint expertes, nequaquā possibile est vniuscuiusque ciuis talem esse virtutem, si vero nullus horum est ciuis, in qua parte sunt huiusmodi homines reponendi? neque enim in eorum ministrorum loco qui nobiscum habitant, neque rursus vt peregini. An secundū hāc rationē nihil dicemus euenire absurdū, neq. enim serui supra dictorum quisquā, neque liberti. Illud autē verum.